**ΓΕΝΙΚΕΣ ΕΙΣΙΤΗΡΙΕΣ ΕΞΕΤΑΣΕΙΣ 1967**

**Θέματα Αρχαίων Ελληνικών**

## ΔΙΔΑΣΚΑΛΙΚΟΣ ΚΥΚΛΟΣ – ΝΗΠΙΑΓΩΓΙΚΟΣ ΚΥΚΛΟΣ – ΓΥΜΝΑΣΤΙΚΟΣ ΚΥΚΛΟΣ

**Σάββατο 9 Σεπτεμβρίου 1967**

## Α. ΚΕΙΜΕΝΟ ΓΙΑ ΜΕΤΑΦΡΑΣΗ

### Δημοσθένους – Περί του στεφάνου 25-26

Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δ᾽ οὐδὲ γράψαντος ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν. Τί δὲ τοῦτ᾽ ἐδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; Ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ᾽ ὡς ἐλάχιστον. Διὰ τί; Ὅτι ὑμεῖς μὲν οὐκ ἀφ᾽ ἧς ὠμόσαθ᾽ ἡμέρας μόνον, ἀλλ᾽ ἀφ᾽ ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ τοῦτ᾽ ἐκ παντὸς τοῦ χρόνου μάλιστ᾽ ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων εἵνεκα.

Κελάφας ΦΡΟΝΤΙΣΤΗΡΙΑ